εὐνὰc ἔχοντεc ἐξανίcτανται λόχου·
φυγῆι cὺ μὲν κατ' οἶμον, ἐc δόμουc δ' ἐγὼ
φῶταc κακούργουc ἐξαλύξωμεν ποδί.
Ορ. μέν', ὦ τάλαινα· μὴ τρέcηιc ἐμὴν χέρα.
Ηλ. ὦ Φοῖβ' Ἄπολλον, προcπίτνω cε μὴ θανεῖν.
Ορ. ἄλλουc κτάνοιμι μᾶλλον ἐχθίουc cέθεν.
Ηλ. ἄπελθε, μὴ ψαῦ' ὧν cε μὴ ψαύειν χρεών.
Ορ. οὐκ ἔcθ' ὅτου θίγοιμ' ἂν ἐνδικώτερον.
Ηλ. καὶ πῶc ξιφήρηc πρὸc δόμοιc λοχᾶιc ἐμοῖc;
Ορ. μείναc' ἄκουcον, καὶ τάχ' οὐκ ἄλλωc ἐρεῖc.
Ηλ. ἕcτηκα· πάντωc δ' εἰμὶ cή· κρείccων γὰρ εἶ.
Ορ. ἥκω φέρων cοι cοῦ καcιγνήτου λόγουc.
Ηλ. ὦ φίλτατ', ἆρα ζῶντοc ἢ τεθνηκότοc;
Ορ. ζῆι· πρῶτα γάρ cοι τἀγάθ' ἀγγέλλειν θέλω.
Ηλ. εὐδαιμονοίηc μιcθὸν ἡδίcτων λόγων.
Ορ. κοινῆι δίδωμι τοῦτο νῶιν ἀμφοῖν ἔχειν.
Ηλ. ποῦ γῆc ὁ τλήμων τλήμοναc φυγὰc ἔχων;
Ορ. οὐχ ἕνα νομίζων φθείρεται πόλεωc νόμον.
Ηλ. οὔ που cπανίζων τοῦ καθ' ἡμέραν βίου;
Ορ. ἔχει μέν, ἀcθενὴc δὲ δὴ φεύγων ἀνήρ.
Ηλ. λόγον δὲ δὴ τίν' ἦλθεc ἐκ κείνου φέρων;
Ορ. εἰ ζῆιc, ὅπωc τε ζῶcα cυμφορᾶc ἔχειc.
Ηλ. οὔκουν ὁρᾶιc μου πρῶτον ὡc ξηρὸν δέμαc;
Ορ. λύπαιc γε cυντετηκόc, ὥcτε με cτένειν.
Ηλ. καὶ κρᾶτα πλόκαμόν τ' ἐcκυθιcμένον ξυρῶι.
Ορ. δάκνει c' ἀδελφὸc ὅ τε θανὼν ἴcωc πατήρ.
Ηλ. οἴμοι· τί γάρ μοι τῶνδέ γ' ἐcτὶ φίλτερον;